Ioannis Laurentii Lydi Liber de mensibus – Johannes Laurentius Lydus



XYS καὶ γλαυκῶπιν αὐτὴν διὰ τὸ πυρῶδες γράφουσι καὶ Rr III 30
γλαῦκα αὐτῇ τὸ ὄρνεον προσνέμουσιν, ὅπερ ἐγρήγορε
S διὰ πάσης τῆς νυκτός, ὡς ἂν τις εἴποι, ἡ ἀνθρωπίνη
ψυχὴ κατὰ μηδένα καιρὸν ἀργοῦσα· καὶ γὰρ ἀθάνατος
XYS καὶ ἀεικίνητος τὴν φύσιν· τὸ γὰρ παῦλαν ἔχον κινή-
σεως παῦλαν ἔχει ζωῆς κατὰ Πλάτωνα.

S 55. Ὅτι κατὰ τὴν πρὸ τεσσαρεσκαίδεκα καλενδῶν deest Rr
Ἀπριλίων ἔθος ἦν τοὺς Σαλίους ἀποτίθεσθαι τὰ διο-
πετῆ ὅπλα, ἅτινα ἐκάλουν ἀγκίλια, οὓς κατέστησεν ὁ
Νουμᾶς. ταῦτα δὲ εἰς τιμὴν Ἄρεος πολεμικοῦ εἰώθη
κινεῖσθαι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἐν ᾗ λέγεται φωνὴν ἐκ
τοῦ οὐρανοῦ ἀκουσθῆναι λέγουσαν, ἕως τότε σώζεσθαι
τὴν πόλιν, ἕως ἂν σώζηται τὰ ἀγκίλια.

Wuensch felt the need to emend here (see below)

Y 56. Ὅτι καὶ ἐν Ῥώμῃ τὰς τῶν πολιτῶν ἁμαρτάδας Rr III 31
ἐπὶ ἁμαξῶν διέπαιζον καὶ λανθανούσας ἐξῆγον κατὰ
τὴν Ἀθηναίων συνήθειαν, οἳ τοῖς ἁμαρτάνουσιν ἠπεί-
λουν λέγειν τὰ ἐξ ἁμάξης.

X 57. Πρὸ δεκατεσσάρων Καλενδῶν Ἀπριλίων ἑορτὴ IV 40
παρὰ Ῥωμαίοις τιμωμένη οὐχ ὡς Ῥωμαϊκὴ ἀλλ᾽ ὡς με-
γίστην παρ᾽ Αἰγυπτίοις ἔχουσα τιμὴν δι᾽ αἰτίαν τοι-
αύτην· τοῦ Νείλου τὴν ἐτήσιον ἐπίδοσιν τῶν ὑδάτων
ἀρνουμένου ποτὲ καὶ ταύτῃ τῶν Αἰγυπτίων ἀπολλυ-
μένων, δαίμων τις ἀγαθὸς εἰς ἄνθρωπον φανείς, ὅλον
τὸ σῶμα πεπηλωμένος, ἐξεβόα τοῖς Αἰγυπτίοις ἀναβλύ-

v. 6 Plat. Phaedr. p. 245 C

v. 1 ὅτι ἡ ἀθηνᾶ εἰς ψυχὴν ἀλληγορουμένη καὶ γλαυκῶπις λέγεται διὰ τὸ πυρῶδες. καὶ γλαῦκα αὐτῇ ἀνατιθέασιν, ὅτι περ ἐγρήγορε διὰ πάσης νυκτὸς οἱονεὶ ἀεικίνητος (ἀκίνητος *D*)· τὸ γὰρ (5) — 6 πλάτωνα *Y* | γλαυκώπην *A* 2 γλαῦκαν *B* 3 εἴπῃ *S*, εἴποι scripsi | εἴποι — 4 ἀθάνατος omis. *X* 5 ἀκίνητος *B* 7 τεσσαρεσκαιδεκάτην *S*, τεσσαρεσκαίδεκα scripsi 23 δαίμων] *Claudianus in Eutropium B* in marg.

note: these two numeral words agree in inverting the standard order (cf. 'tessareskaideka[tEs]'), and also agree in experiencing an *inflection.*

The solitum word 'deka' illustrates the point that -- despite the agreeing grammatical cause of the 'pro' in all four cases -- no inflection is allowed.

No inflected 'deka'tEs, for example, despite the forces of grammar here.



σαι τὸν Νεῖλον, καὶ αὐτὸν ἐμπεσεῖν τοῖς ὕδασι· τῶν X
δὲ ἀπιστησάντων, ἔργῳ δὲ τἀληθὲς εὑρόντων, ἑορτὴ
παρ᾽ αὐτοῖς τε καὶ παρὰ τοῖς Ἕλλησιν ὡρίσθη λεγο-
μένη Πηλούσιον.

Rr III 32 58. Ὅτι τὴν ἐν Λυδίᾳ Φιλαδέλφειαν Αἰγύπτιοι Y
ἐπόλισαν. ὅτι οἱ περὶ τὸν φιλόσοφον Πρόκλον μικρὰς XS
Ἀθήνας ἐκάλουν τὴν Φιλαδέλφειαν διὰ τὸν πρὸς ἐκείνας
ζῆλον διά ⟨τε⟩ τὰς ἑορτὰς καὶ τὰ ἱερὰ τῶν εἰδώλων. X

IV 41 59. Τῇ πρὸ δεκαμιᾶς Καλενδῶν Ἀπριλίων δένδρον
πίτυς παρὰ τῶν δενδροφόρων ἐφέρετο ἐν τῷ Παλατίῳ.
τὴν δὲ ἑορτὴν Κλαύδιος ὁ βασιλεὺς κατεστήσατο, ἀνὴρ XS
οὕτω δίκαιος περὶ τὰς κρίσεις, ὡς μητέρα τὸν ἑαυτῆς
παῖδα ἀρνουμένην κελεῦσαι ὡσανεὶ ξένην γαμηθῆναι
αὐτῷ, τὴν δὲ ἀπειποῦσαν κρῖναι μητέρα.

60. Τῇ πρὸ δέκα Καλενδῶν Ἀπριλίων καθαρμὸς X
σάλπιγγος καὶ κίνησις τῶν ὅπλων, καὶ τιμαὶ Ἄρεος
καὶ Νερίνης, θεᾶς οὕτω τῇ Σαβίνων γλώσσῃ προσα-
γορευομένης, ἣν ἠξίουν εἶναι τὴν Ἀθηνᾶν ἢ καὶ Ἀφρο-
δίτην· νερίνη γὰρ ἡ ἀνδρία ἐστὶ καὶ νέρωνας τοὺς
ἀνδρείους οἱ Σαβῖνοι καλοῦσιν. αὐτὴν δὲ μετὰ Ἄρεος
ἡγεῖσθαι τῶν πολέμων καὶ Ὅμηρος δείκνυσι λέγων·

ταῦτα δ᾽ Ἄρηι θοῷ καὶ Ἀθηνᾷ πάντα μελήσει.

οἱ γὰρ Ἀφροδίτην εἶναι νομίζοντες τὴν Νερίνην πλα-
νῶνται, καὶ μάρτυς κἀνταῦθα Ὅμηρος·

οὔ τοι, τέκνον ἐμόν, δέδοται πολεμήϊα ἔργα.

v. 22 Hom. Il. E 430 25 Hom. Il. E 428

v. 6 ἐπόλισαν cet. des. *Y* 6 ὅτι — 8 ζῆλον *S*, μικρὰς ἀθήνας ἐκάλουν τὴν φιλαδέλφειαν διὰ τὰς ἑορτὰς etc. *X* 8 ⟨τε⟩ addidi 11 ὅτι κλαύδιος ὁ βασιλεὺς οὕτω δίκαιος ἦν περὶ — 14 μητέρα *S* 13 ὡσανεὶ] ὡς ἂν *S* | ξένην *ABS*, ξένω $A_2$ 14 ἀποπίπτουσαν εἶναι *X* 21 πολέμαι *A*, corr. $A_2$